## Β' ΣΙΜΩΝΙΔΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ *

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε μῆτερ ὀπώρης
Οὔλης, ἣ σκολιὸν πλέγμα φύσεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ᾽ ἄκρῃ
Στήλῃ, καὶ λεπτῷ χώματι τοῦδε τάφου·
Ὡς ὁ φιλάκρητός τε, καὶ οἰνοβαρὴς, φιλόκωμος,
Παννύχιος κρούοι τὴν φιλόπαιδα χέλυν·
Κὴν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
Ἀγλαὸν ὡραίων βότρυν ἀπ᾽ ἀκρεμόνων·
Καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
Λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

* Extat in Anthol. 3, 25. 48. : ap. Vrſin. p. 123. et p. 165. Met. 1. p. 66. ſ. Bruncqu. d. l. p. 136. To. 1. Holſt. p. 136. Brig. p. 22. ſ.

1. Heſychius: Ἡμερίς· ἄμπελος, ἀπὸ τοῦ ἐξημεροῦν ἡμᾶς. Bruncqu. Brig. ὀπώρας.

2. ἣ — φύεις Bruncqu. Brig.

6. κρούων Bruncqu. Brig.

10. μαλακὸν Vrſ. p. 123. male.

Γ'